τοῦ μηνὸς καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ ποτα-
μοῦ τοῦ Χοβαρ, καὶ ἠνοίχθησαν οἱ οὐρανοί, καὶ εἶδον ὁράσεις θεοῦ·
2πέμπτη τοῦ μηνός (τοῦτο τὸ ἔτος τὸ πέμπτον τῆς αἰχμαλωσίας 2
τοῦ βασιλέως Ιωακιμ) 3καὶ ἐγένετο λόγος κυρίου πρὸς Ιεζεκιηλ 3
υἱὸν Βουζι τὸν ἱερέα ἐν γῇ Χαλδαίων ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβαρ·
καὶ ἐγένετο ἐπ᾽ ἐμὲ χεὶρ κυρίου, 4καὶ εἶδον καὶ ἰδοὺ πνεῦμα ἐξαῖ- 4
ρον ἤρχετο ἀπὸ βορρᾶ, καὶ νεφέλη μεγάλη ἐν αὐτῷ, καὶ φέγγος
κύκλῳ αὐτοῦ καὶ πῦρ ἐξαστράπτον, καὶ ἐν τῷ μέσῳ αὐτοῦ ὡς
ὅρασις ἠλέκτρου ἐν μέσῳ τοῦ πυρὸς καὶ φέγγος ἐν αὐτῷ. 5καὶ ἐν 5
τῷ μέσῳ ὡς ὁμοίωμα τεσσάρων ζῴων· καὶ αὕτη ἡ ὅρασις αὐτῶν·
ὁμοίωμα ἀνθρώπου ἐπ᾽ αὐτοῖς, 6καὶ τέσσαρα πρόσωπα τῷ ἑνί, καὶ 6
τέσσαρες πτέρυγες τῷ ἑνί. 7καὶ τὰ σκέλη αὐτῶν ὀρθά, καὶ πτερω- 7
τοὶ οἱ πόδες αὐτῶν, καὶ σπινθῆρες ὡς ἐξαστράπτων χαλκός, καὶ
ἐλαφραὶ αἱ πτέρυγες αὐτῶν. 8καὶ χεὶρ ἀνθρώπου ὑποκάτωθεν τῶν 8
πτερύγων αὐτῶν ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν· καὶ τὰ πρόσωπα
αὐτῶν τῶν τεσσάρων 9οὐκ ἐπεστρέφοντο ἐν τῷ βαδίζειν αὐτά, 9
ἕκαστον κατέναντι τοῦ προσώπου αὐτῶν ἐπορεύοντο. 10καὶ ὁμοί- 10
ωσις τῶν προσώπων αὐτῶν· πρόσωπον ἀνθρώπου καὶ πρόσωπον
λέοντος ἐκ δεξιῶν τοῖς τέσσαρσιν καὶ πρόσωπον μόσχου ἐξ ἀρι-
στερῶν τοῖς τέσσαρσιν καὶ πρόσωπον ἀετοῦ τοῖς τέσσαρσιν. 11καὶ 11
αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι ἄνωθεν τοῖς τέσσαρσιν, ἑκατέρῳ
δύο συνεζευγμέναι πρὸς ἀλλήλας, καὶ δύο ἐπεκάλυπτον ἐπάνω τοῦ
σώματος αὐτῶν. 12καὶ ἑκάτερον κατὰ πρόσωπον αὐτοῦ ἐπορεύετο· 12
οὗ ἂν ἦν τὸ πνεῦμα πορευόμενον, ἐπορεύοντο καὶ οὐκ ἐπέστρεφον.
13καὶ ἐν μέσῳ τῶν ζῴων ὅρασις ὡς ἀνθράκων πυρὸς καιομένων, 13
ὡς ὄψις λαμπάδων συστρεφομένων ἀνὰ μέσον τῶν ζῴων καὶ φέγ-
γος τοῦ πυρός, καὶ ἐκ τοῦ πυρὸς ἐξεπορεύετο ἀστραπή. 15καὶ 15
εἶδον καὶ ἰδοὺ τροχὸς εἷς ἐπὶ τῆς γῆς ἐχόμενος τῶν ζῴων τοῖς
τέσσαρσιν· 16καὶ τὸ εἶδος τῶν τροχῶν ὡς εἶδος θαρσις, καὶ ὁμοί- 16
ωμα ἓν τοῖς τέσσαρσιν, καὶ τὸ ἔργον αὐτῶν ἦν καθὼς ἂν εἴη τρο-
χὸς ἐν τροχῷ. 17ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν ἐπορεύοντο, οὐκ ἐπέ- 17
στρεφον ἐν τῷ πορεύεσθαι αὐτὰ 18οὐδ᾽ οἱ νῶτοι αὐτῶν, καὶ ὕψος 18
ἦν αὐτοῖς· καὶ εἶδον αὐτά, καὶ οἱ νῶτοι αὐτῶν πλήρεις ὀφθαλμῶν
κυκλόθεν τοῖς τέσσαρσιν. 19καὶ ἐν τῷ πορεύεσθαι τὰ ζῷα ἐπο- 19
ρεύοντο οἱ τροχοὶ ἐχόμενοι αὐτῶν, καὶ ἐν τῷ ἐξαίρειν τὰ ζῷα ἀπὸ

2 το $1^0$ > Q, $2^0$ > A || 3 επ εμε] pr. εκει A, + ※εκει *O* || 4 ορασις] ομοιωμα A || 7 εξαστρ.] pr. ο A† || 8 αυτων ult. B†] + και αι πτερυγες αυτων rel. (in *O* sub ※) || 9 init. B(†)] pr. εχομεναι ετερα της ετερας και τα προσωπα αυτων A (in *O* sub ※, sed αι πτερυγες pro τα προσωπα) | κατεναντι] απεν. $B^{c}$† || 10 ομοιωσις] pr. η A | ανθρωπου] ÷ αυτοις A || 12 ην (cf. 20)] η A | επορευοντο] -ευετο A† | επεστρεφεν A† || 13 ως $1^0$ > A | αστραπη] pr. ως A | fin. B†] + (14) και τα ζωα ετρεχον και ανεκαμπτον ως ειδος του βεζεκ A (in *O* sub ※) || 16 και $2^0 \frown 3^0$ A*† | εν ult.] επι A†